καὶ ἄφετοι καθάπερ ἱερόδουλοι διατελοῦσιν. Ἡ δὲ γεν-
ναία γυνὴ πρὸς ἄνδρα νόμιμον συγκραθεῖσα δι᾽ Ἔρωτος B
ἄρκτων ἂν ὑπομείνειε καὶ δρακόντων περιβολὰς μᾶλλον
ἢ ψαῦσιν ἀνδρὸς ἀλλοτρίου καὶ συγκατάκλισιν. (**22.**) ἀφθο-
νίας δὲ παραδειγμάτων οὔσης πρός γ᾽ ὑμᾶς τοὺς ὁμο-
χώρους τοῦ θεοῦ καὶ θιασώτας, ὅμως τὸ περὶ Κάμμαν
οὐκ ἄξιόν ἐστι τὴν Γαλατικὴν παρελθεῖν. ταύτης γὰρ
ἐκπρεπεστάτης τὴν ὄψιν γενομένης, Σινάτῳ δὲ τῷ τε-
τράρχῃ γαμηθείσης, Σινόριξ ἐρασθεὶς δυνατώτατος Γα-
λατῶν ἀπέκτεινε τὸν Σινάτον, ὡς οὔτε βιάσασθαι δυνά-
μενος οὔτε πεῖσαι τὴν ἄνθρωπον ἐκείνου ζῶντος. ἦν δὲ
τῇ Κάμμῃ καταφυγὴ καὶ παραμυθία τοῦ πάθους ἱερω- C
σύνη πατρῷος Ἀρτέμιδος· καὶ τὰ πολλὰ παρὰ τῇ θεῷ
διέτριβεν, οὐδένα προσιεμένη, μνωμένων πολλῶν βασι-
λέων καὶ δυναστῶν αὐτήν. τοῦ μέντοι Σινόριγος τολμή-
σαντος ἐντυχεῖν περὶ γάμου, τὴν πεῖραν οὐκ ἔφυγεν οὐδ᾽
ἐμέμψατο περὶ τῶν γεγονότων, ὡς δι᾽ εὔνοιαν αὐτῆς καὶ
πόθον οὐκ ἄλλῃ τινὶ μοχθηρίᾳ προαχθέντος τοῦ Σινόρι-
γος. ἧκεν οὖν πιστεύσας ἐκεῖνος καὶ ᾔτει τὸν γάμον· ἡ δ᾽
ἀπήντησε καὶ δεξιωσαμένη καὶ προσαγαγοῦσα τῷ βωμῷ
τῆς θεᾶς ἔσπεισεν ἐκ φιάλης μελίκρατον, ὡς ἔοικε,
πεφαρμακωμένον· εἶθ᾽ ὅσον ἥμισυ μέρος αὐτὴ προεκ-
πιοῦσα παρέδωκε τῷ Γαλάτῃ τὸ λοιπόν· ὡς δ᾽ εἶδεν ἐκ- D
πεπωκότα, λαμπρὸν ἀνωλόλυξε καὶ φθεγξαμένη τοὔ-
νομα τοῦ τεθνεῶτος ʽταύτηνʼ εἶπεν ʽἐγὼ τὴν ἡμέραν, ὦ
φίλτατ᾽ ἄνερ, προσμένουσα σοῦ χωρὶς ἔζων ἀνιαρῶς· νῦν
δὲ κόμισαί με χαίρων· ἠμυνάμην γὰρ ὑπὲρ σοῦ τὸν κάκι-
στον ἀνθρώπων, σοὶ μὲν βίου τούτῳ δὲ θανάτου κοινωνὸς